Ακαδημία Αθηνών / Academy of Athens

**διώκειν 1.** Σπρώχνω, push, Ἐμπεδοκλῆς 115.9 *αἰθέριον μὲν γάρ σφε μένος πόντονδε δ ι ώ κ ε ι.* Πρβλ. *ἐπείγειν* **2** (ἀντίθ. *φεύγειν*). Ἐπιδιώκω/ἐπιζητῶ, pursue, Δημόκριτος 157 *τοὺς πόνους δ ι ώ κ ε ι ν, ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνονται τοῖς ἀνθρώποις* 203 *ἄνθρωποι τὸν θάνατον φεύγοντες δ ι ώ κ ο υ σ ι ν.*

**δνοφόεις.** Σκοτεινός, dark, Ἐμπεδοκλῆς 21.5 *ὄμβρον δ' ἐν πᾶσι δ ν ο φ ό ε ν τ ά τε ῥιγαλέον τε.* Πρβλ. *ἀδαής*.

**δοιός.** Διπλός, double, Παρμενίδης 1.7 *(δ ο ι ο ῖ ς γὰρ ἐπείγετο δινωτοῖσιν κύκλοις ἀμφοτέρωθεν)* Ἐμπεδοκλῆς 17.3 *δ ο ι ὴ δὲ θνητῶν γένεσις, δ ο ι ὴ δ' ἀπόλειψις.*

**δοκεῖν 1.** Νομίζω/ἔχω τὴ γνώμη, suppose, Ξενοφάνης 14 *ἀλλ' οἱ βροτοὶ δ ο κ έ ο υ σ ι γεννᾶσθαι θεοὺς* Ἡράκλειτος 17 *οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοί, ὁκόσοι ἐγκυρεῦσιν, οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δ ο κ έ ο υ σ ι.* ‖ **δοκεῖ (μοι).** Διογένης 1 *δ ο κ ε ῖ μ ο ι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι* 2.1 *ἐ μ ο ὶ δὲ δ ο κ ε ῖ . . . πάντα τὰ ὄντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι* 5.1 *καί μ ο ι δ ο κ ε ῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων* 5.3 *αὐτὸ γάρ μ ο ι τοῦτο θεὸς δ ο κ ε ῖ εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι* 8 *ἀλλὰ τοῦτο μ ο ι δῆλον δ ο κ ε ῖ εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρόν . . . ἐστι* Δημόκριτος Α 151.15 (DK II 125,15) *δ ο κ ε ῖ δέ μ ο ι, ὄνου ἵππον βιασαμένου κατὰ τύχην κυῆσαι, μαθητὰς δὲ ἀνθρώπους τῆς βίας ταύτης γεγενημένους* 259.2 *οὕτω καὶ κατὰ ἀνθρώπων δ ο κ ε ῖ μ ο ι χρεὼν εἶναι ποιεῖν* 277.2 *ὅτεῳ χρήμη τεά ἐστι παῖδα ποιήσασθαι, ἐκ τῶν φίλων τεύ μ ο ι δ ο κ ε ῖ ἄμεινον εἶναι* Ἀρχύτας 1.1 *καλῶς μ ο ι δ ο κ ο ῦ ν τ ι τοὶ περὶ τὰ μαθήματα διαγνώμεναι* **2.** Φαντάζομαι, imagine, Ἡράκλειτος 27 *ἀνθρώπους μένει ἀποθανόντας ἄσσα οὐκ ἔλπονται οὐδὲ δ ο κ έ ο υ σ ι ν* **3.** Δίνω τὴν ἐντύπωση, appear, Ἡράκλειτος 5 *μαίνεσθαι δ' ἂν δ ο κ ο ί η, εἴ τις αὐτὸν ἐπιφράσαιτο οὕτω ποιέοντα* **4.** Φαίνομαι, seem, Μέλισσος 8(3) *δ ο κ ε ῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν . . . καὶ ὅ,τι ἦν τε καὶ ὃ νῦν οὐδὲν ὁμοῖον εἶναι* 8(4) *πάντα ἑτεροιοῦσθαι ἡμῖν δ ο κ ε ῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου* 8(5) *δῆλον τοίνυν, ὅτι . . . οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δ ο-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*κεῖ εἶναι ... ἀλλ' ἣν οἷόν περ ἐδόκει ἕκαστον τοιοῦτον* Δημόκριτος 277.4 *καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, κἂν μάλιστα κατὰ φύσιν ἕποιτο* 284 *ἂν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει* 'Αρχύτας 1.8 *ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι ἦμεν ἀδελφεὰ* 1.26 *τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται καὶ* <*ἰσχυρῶς*>, *ὀξέα φαίνεται, τὰ δὲ βραδέως καὶ ἀσθενῶς, βαρέα δοκοῦντι ἦμεν* 4.1 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν.* ‖ Δημόκριτος 278 *ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης* **5** (ἀντίθ. *εἶναι*). Νομίζομαι, be thought, Δημόκριτος 97 *πολλοὶ δοκέοντες εἶναι φίλοι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσὶν* **6.** Γίνεται δεκτὸ/θεωρεῖται, be accepted, 'Αναξαγόρας 4.1 *τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις* 4.21 *τούτων δὲ οὕτως ἐχόντων ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χρήματα.* ‖ **(τά) δοκοῦντα.** 'Ηράκλειτος 28 *δοκέοντα ὁ δοκιμώτατος γινώσκει, φυλάσσει* Παρμενίδης 1.31 *ἀλλ' ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα.* ‖ **τὸ δοκεῖν.** Δημόκριτος 3.5 *ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν.* Πρβλ. *δόκος, δόξα, γινώσκειν.*

**δόκιμος.** Δοκιμασμένος/ἄξιος, tried/worthy, 'Ηράκλειτος 28 *δοκέοντα γὰρ ὁ δοκιμώτατος γινώσκει, φυλάσσει* Δημόκριτος 67 *μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι πιστεύειν* 68 *δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐξ ὧν πράσσει μόνον, ἀλλὰ καὶ ἐξ ὧν βούλεται.* Πρβλ. *ἄξιος.*

**δοκίμως.** Δοκιμασμένα/ὀρθά, tested/sound, Παρμενίδης 1.32 *τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα.*

**δόκος.** Γνώμη (ἁπλή), (simple) opinion, Ξενοφάνης 34 *αὐτὸς ὅμως οὐκ οἶδε· δόκος δ' ἐπὶ πᾶσι τέτυκται.* Πρβλ. *δοκεῖν.*

**δολιχαίων.** Μακραίων, long-lived, 'Εμπεδοκλῆς 21.12 *θεοὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ